𝔊 λεὺς Ναβουχοδονοσορ Δανιηλ μεγαλύνας καὶ δοὺς δωρεὰς μεγάλας
καὶ πολλὰς κατέστησεν ἐπὶ τῶν πραγμάτων τῆς Βαβυλωνίας καὶ
ἀπέδειξεν αὐτὸν ἄρχοντα καὶ ἡγούμενον πάντων τῶν σοφιστῶν
Βαβυλωνίας. 49 καὶ Δανιηλ ἠξίωσε τὸν βασιλέα ἵνα κατασταθῶσιν 49
ἐπὶ τῶν πραγμάτων τῆς Βαβυλωνίας Σεδραχ, Μισαχ, Αβδεναγω·
καὶ Δανιηλ ἦν ἐν τῇ βασιλικῇ αὐλῇ.
1 Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονοσορ βασιλεὺς διοικῶν πό- 3
λεις καὶ χώρας καὶ πάντας τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ
Ἰνδικῆς ἕως Αἰθιοπίας ἐποίησεν εἰκόνα χρυσῆν, τὸ ὕψος αὐτῆς
πηχῶν ἑξήκοντα καὶ τὸ πλάτος αὐτῆς πηχῶν ἕξ, καὶ ἔστησεν αὐ-
τὴν ἐν πεδίῳ τοῦ περιβόλου χώρας Βαβυλωνίας. 2 καὶ Ναβουχοδο- 2
νοσορ βασιλεὺς βασιλέων καὶ κυριεύων τῆς οἰκουμένης ὅλης ἀπ-
έστειλεν ἐπισυναγαγεῖν πάντα τὰ ἔθνη καὶ φυλὰς καὶ γλώσσας,
σατράπας, στρατηγούς, τοπάρχας καὶ ὑπάτους, διοικητὰς καὶ τοὺς
ἐπ᾽ ἐξουσιῶν κατὰ χώραν καὶ πάντας τοὺς κατὰ τὴν οἰκουμένην
ἐλθεῖν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος τῆς χρυσῆς, ἣν ἔστησε
Ναβουχοδονοσορ ὁ βασιλεύς· 3 καὶ ἔστησαν οἱ προγεγραμμένοι 3

3 3 init.] pr. ※τοτε συνηχθησαν υπατοι στρατηγοι τοπαρχαι ηγουμενοι τυραννοι μεγαλοι ⟨οι⟩ επ εξουσιων και παντες οι αρχοντες των χωρων (+ του ελθειν 88: cf. 2) εις τον εγκαινισμον της εικονος ης εστησε ναβουχοδονοσορ ο βασιλευς 88 Sy | και εστησαν / οι προγεγρ.] tr. Sy

---

θ′ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιηλ καὶ δόματα μεγάλα καὶ πολλὰ
ἔδωκεν αὐτῷ καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος
καὶ ἄρχοντα σατραπῶν ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος. 49 καὶ 49
Δανιηλ ᾐτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα
τῆς χώρας Βαβυλῶνος τὸν Σεδραχ, Μισαχ, Αβδεναγω· καὶ Δανιηλ
ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.
1 Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονοσορ ὁ βασιλεὺς ἐποίησεν 3
εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων
ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεϊρα ἐν χώρᾳ Βαβυλῶνος. 2 καὶ 2
ἀπέστειλεν συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ
τοὺς τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ᾽ ἐξουσιῶν
καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς
εἰκόνος, ἧς ἔστησεν Ναβουχοδονοσορ ὁ βασιλεύς· 3 καὶ συνήχθησαν 3
οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ
ἐπ᾽ ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαι-

2 48 μεγαλα .. πολλα] tr. A | επι ult.] pr. και A || 49 fin.] + subscr. ορασις γ′ A

3 1 init.] pr. inscr. ορασις δ′ A | ο βασ. > A || 2 τα εγκαινια] τον εγκαινισμον uel sim. A pau.: cf. 3 | ναβουχ. ο βασ. > B†